32 Cur vinolenti cōcumbere nequeant? An quòd partem corporis quandam ampliùs, quàm reliquum corpus, incaleſcere opus eſt, quod vinolentis contingere præ nimio calore non poteſt. Calor igitur, qui à motu naturæ interno præſtatur, obtentu caloris ambientis extinguitur. An quod partes corporis imas recaleſcere opus eſt. Vinum autem in ſublime efferri aptum eſt: itaque calorem, quemadmodum illic excitat, ita hinc auocat, atque abducit. Poſt cibum quoque libido veneris minimè incitatur. Vnde prandere largè, cœnare parcè præcipiunt. Cibo enim concocto ſurſum, crudo deorſum fertur, & humor, & calor: ortus autem ſeminis ex his eſt: & fatigatis idcirco per ſomnum profluit genitura, quòd labor corpus humidum, & calidum reddit. Quòd ſi excrementum ea in parte ſubſtiterit, euenit certè, vt per ſomnum erumpat. Hæc eadem cauſa eſt, cur in aduerſis quibuſdam valetudinibus id eueniat, atque etiam metuenti, & morienti. 33 Cur iuuenes potiùs, quàm ſeniores immingant, vbi vino ſeſe ebriauere? An quoniam iuuenes humidi ſunt, & calidi multum, idcirco excrementum humoris confluit in veſicam: exiguum enim à corpore eorum abſumitur, quam ob rem id effundi neceſſe eſt. Senioribus verò, corpus pro ſua ſiccitate humorem nimium attrahit, atque imbibit. An quòd iuniorum natura ad ſomnum propenſior, quàm ſeniorū, eſt: quocirca grauiter iuuenes conſopitos vrinæ ſæpe excitatio latet, vt hæc prius erumpat quàm illi ſurrexerint. Seniores autem latere minimè poteſt, quemadmodum nec externorum motuum quiſquàm minùs ab his percipi, quàm ab adoleſcentibus ſolet. Conſtat autem quod modò diximus, quandoquidem iuuenes ipſi tum maximè immingunt, cùm arctè, & grauiter dormiunt. 34 Cur oleum ad arcendam vinolentiam valet, ſorbitúmq. facultatē pręſtat potādi? An quòd vrinam ciere poteſt, vinóque hauſto iter regit?

A λβ Διὰ τί οἱ οἰνόφλυγες καὶ οἱ περὶ τὴν θάλασσαν, χαίρουσιν ἡλίῳ; ἢ διότι οἱ μὲν οἰνόφλυγες, δέονται πέψεως, καὶ ἅμα συμβαίνει τινὰς τόποις κατεψύχθαι; διὸ καὶ ἀποπληξίαι καὶ ἀποναρκώσεις μετὰ τοὺς πότοις. οἱ δὲ θαλάττιοι, διὰ τὸ ἀεὶ ἐν ὑγρῷ εἶναι, τοῦτο ποιοῦσι. λγ Διὰ τί οἱ μεθύοντες ἀδυνατοῦσι ἀφροδισιάζειν; ἢ ὅτι δεῖ μᾶλλόν τινα τόπον ἐκθερμανθῆναι τοῦ ἄλλου σώματος; B οἱ δὲ διὰ τὸ πλῆθος τῆς θερμασίας, ἀδυνατοῦσιν. ἀποσβέννυται οὖν τὸ ἀπὸ τῆς κινήσεως θερμὸν γινόμενον ὑπὸ τοῦ περιέχοντος. ἢ διότι δεῖ μὲν ἐκθερμανθῆναι τοὺς κάτω τόποις, ὁ δ᾽ οἶνος ἄνω πέφυκε φέρεσθαι; ὥστε ἐκεῖ ποιεῖ τὴν θερμασίαν, ἐντεῦθεν δὲ ἀπάγει. καὶ μετὰ τὰ σιτία, ἥκιστα ἀφροδισιαστικοί· καὶ κελεύουσιν ἀριστᾶν μὲν πολὺ, δειπνεῖν δὲ ὀλίγον. C ἀπέπτων μὲν γὰρ ὄντων, ἄνω φέρεται· πεπεμμένων δὲ, κάτω τὸ θερμὸν καὶ τὸ ὑγρόν. ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τούτων. καὶ οἱ κοπιῶντες ἐξονειρώττουσιν, ὅτι ὑγρὸς καὶ θερμὸς ὁ κόπος. ἐὰν οὖν ἐν τῷ τόπῳ τούτῳ γένηται ἡ περίττωσις, συμβαίνει ἐξονειρώττειν. διὰ ταὐτὸ δὲ καὶ ὅτι τοῖς ἀῤῥωστήμασιν, ὅσοις γίνεται, συμβαίνει· καὶ τοῖς φοβουμένοις, D καὶ τοῖς ἀποθνήσκουσι συμβαίνει ὡσαύτως. λδ Διὰ τί νέοι ὄντες ἐνουροῦσι μᾶλλον ὅταν μεθυσθῶσιν, ἢ πρεσβύτεροι; ἢ διὰ τὸ θερμοὺς [καὶ ὑγροὺς] εἶναι, πολὺ τὸ συῤῥυὲν γίνεται περίττωμα, διὰ τὸ μὴ ἀναλίσκειν τὸ σῶμα τὸ ὑγρόν· ὥστε ὑπερχεῖται· πρεσβυτέροις δὲ γινομένοις, διὰ ξηρότητα τὴν ὑπερβολὴν ἀντισπᾷ τὸ σῶμα. ἢ ὅτι E μᾶλλον ὑπνωτικώτεροί εἰσιν οἱ νέοι τῶν πρεσβυτέρων; διὸ τοὺς μὲν νέους, καθύπνους ὄντας, λανθάνει ἡ ὁρμὴ τοῦ οὔρου ἐκπίπτουσα πρὶν διεγερθῆναι· τοὺς δὲ πρεσβυτέρους, οὐ· καθάπερ οὐδὲ τῶν ἔξωθεν κινήσεων, οὐδὲν ἧττόν τι λανθάνει αὐτοὺς ἢ τοὺς νέους. δῆλον δέ· καὶ γὰρ αὐτοὶ οἱ νέοι ἐν τοῖς βαθυτάτοις ὕπνοις μάλιστα ἐνουροῦσιν. λε Διὰ τί τὸ ἔλαιον πρὸς τὰς μέθας συμφέρει, καὶ τοῦ δύνασθαι πίνειν τὸ καταῤῥοφεῖν; ἢ διότι οὐρητικόν ἐστι, καὶ τῷ πόματι προοδοποιεῖ;

Eorum quæ ad rem veneream pertinent, ſectio quarta, cuius quæſtiones 32.

QVam ob cauſam, qui concumbit, & qui moritur, oculos attollit: qui autem dormit, ſubmittit? An quòd de parte ſuperiore calor exiēs, eodē oculos vertit,

Ὅσα περὶ ἀφροδίσια. δ.

ΔΙὰ τί ὁ ἀφροδισιάζων καὶ ἀποθνήσκων, ἀναβάλλει τὰ ὄμματα, καθεύδων δὲ καταβάλλει; ἢ διότι ἄνωθεν τὸ θερμὸν ἐξιὸν ἀναστρέφει ἵνα περ ὁρμᾷ· ἐν δὲ τῷ ὕπνῳ,

κάτω